ΑΠ. Μενέλαε, παῦσαι λῆμ᾽ ἔχων τεθηγμένον·
Φοῖβός σ᾽ ὁ Λητοῦς παῖς ὅδ᾽ ἐγγὺς ὢν καλῶ·
σύ θ᾽ ὃς ξιφήρης τῇδ᾽ ἐφεδρεύεις κόρῃ,
Ὀρέσθ᾽, ἵν᾽ εἰδῇς οὓς φέρων ἥκω λόγους.
Ἑλένην μὲν ἣν σὺ διολέσαι πρόθυμος ὢν
ἥμαρτες, ὀργὴν Μενέλεῳ ποιούμενος,
ἥδ᾽ ἐστίν, ἣν ὁρᾶτ᾽ ἐν αἰθέρος πτυχαῖς,
σεσῳσμένη τε κοὐ θανοῦσα πρὸς σέθεν.
ἐγώ νιν ἐξέσῳσα κἀπὸ φασγάνου
τοῦ σοῦ κελευσθεὶς ἥρπασ᾽ ἐκ Διὸς πατρός.
Ζηνὸς γὰρ οὖσαν ζῆν νιν ἄφθιτον χρεών,
Κάστορί τε Πολυδεύκει τ᾽ ἐν αἰθέρος πτυχαῖς
σύνθακος ἔσται, ναυτίλοις σωτήριος.
ἄλλην δὲ νύμφην εἰς δόμους κτῆσαι λαβών,
ἐπεὶ θεοὶ τῷ τῆσδε καλλιστεύματι
Ἕλληνας εἰς ἓν καὶ Φρύγας συνήγαγον,
θανάτους τ᾽ ἔθηκαν, ὡς ἀπαντλοῖεν χθονὸς
ὕβρισμα θνητῶν ἀφθόνου πληρώματος.
τὰ μὲν καθ᾽ Ἑλένην ὧδ᾽ ἔχει· σὲ δ᾽ αὖ χρεών,
Ὀρέστα, γαίας τῆσδ᾽ ὑπερβαλόνθ᾽ ὅρους
Παρράσιον οἰκεῖν δάπεδον ἐνιαυτοῦ κύκλον.
κεκλήσεται δὲ σῆς φυγῆς ἐπώνυμον
Ἀζᾶσιν Ἀρκάσιν τ᾽ Ὀρέστειον καλεῖν.
ἐνθένδε δ᾽ ἐλθὼν τὴν Ἀθηναίων πόλιν
δίκην ὑπόσχες αἵματος μητροκτόνου
Εὐμενίσι τρισσαῖς· θεοὶ δέ σοι δίκης βραβεῖς
πάγοισιν ἐν Ἀρείοισιν εὐσεβεστάτην
ψῆφον διοίσουσ᾽, ἔνθα νικῆσαί σε χρή.
ἐφ᾽ ἧς δ᾽ ἔχεις, Ὀρέστα, φάσγανον δέρῃ,
γῆμαι πέπρωταί σ᾽ Ἑρμιόνην· ὃς δ᾽ οἴεται
Νεοπτόλεμος γαμεῖν νιν, οὐ γαμεῖ ποτε.
θανεῖν γὰρ αὐτῷ μοῖρα Δελφικῷ ξίφει,

1626. σ᾽ om. libri, additum in recentioribus. καλεῖ C 1633. καὶ ὑπό A κ᾽ ὑπό c 1637. ναυτίλοισι C 1648. δ᾽ A γ᾽ E τ᾽ ceteri. 1649. ὑφέξεις F 1653. ᾗ ABF